# Archytás

Fragmenta DK 47 B

*Archýtův spis o harmonii*
*ΑΡΧΥΤΟΥ ΑΡΜΟΝΙΚΟΣ*

**B 1**
(*překlad K. Svobody*)

Zdá se mi, že matematikové došli výborného poznání, a není divu, že správně smýšlejí o povaze každé věci. Neboť nabyvše výborného poznání o povaze veškerenstva, museli výborně vidět i povahu jednotlivostí. Poskytli nám tedy jasné poznání o rychlosti, východech i západech hvězd, o měřičství, o číslech, o nebeské kouli a zejména o hudbě. Zdá se nám, že tyto nauky jsou spřízněny, neboť se zabývají dvěma spřízněnými tvary jsoucna. (...)
καλῶς μοι δοκοῦντι τοὶ περὶ τὰ μαθήματα διαγνώμεναι, καὶ οὐθὲν ἄτοπον ὀρθῶς αὐτούς, οἷά ἐντι, περὶ ἑκάστων φρονέειν· περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι. περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων παρέδωκαν ἁμῖν σαφῆ διάγνωσιν καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν καὶ σφαιρικᾶς καὶ οὐχ ἥκιστα περὶ μωσικᾶς. ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἦμεν ἀδελφεά· περὶ γὰρ ἀδελφεὰ τὰ τῶ ὄντος πρώτιστα δύο εἴδεα τὰν ἀναστροφὰν ἔχει.

Především tedy zpozorovali, že nemůže být zvuk, pokud nenastal vzájemný úder dvou věcí. Pravili pak, že vzniká úder, kdykoli se pohybující věci vzájemně setkají a srazí. Tehdy se věci, které se pohybují protivným směrem, při vzájemném setkání zadržují a vydávají zvuk, a věci, které se pohybují stejným směrem, ale nestejnou rychlostí, působí zvuk úderem, když jsou dostihovány věcmi, které se pohybují za nimi.
πρᾶτον μὲν οὖν ἐσκέψαντο, ὅτι οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας πληγᾶς τινων ποτ᾽ ἄλλαλα. πλαγὰν δ᾽ ἔφαν γίνεσθαι, ὅκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτηι· τὰ μὲν οὖν ἀντίαν φορὰν φερόμενα ἀπαντιάζοντα αὐτὰ αὑτοῖς συγχαλᾶντα, [τὰ] δ᾽ ὁμοίως φερόμενα, μὴ ἴσωι δὲ τάχει, περικαταλαμβανόμενα παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον.

Mnohé z těchto zvuků však vzhledem ke své přirozenosti nemůžeme poznat, jedny pro slabost úderu, druhé pro velikou vzdálenost od nás a třetí pro příliš velikou sílu, neboť silné zvuky nevnikají do našeho sluchu, tak jako nic nenateče do nádob s těsným hrdlem, nalévá-li se mnoho.
πολλοὺς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾶι φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ᾽ ἁμῶν ἀποστάσιος,

τινὰς δὲ καὶ διὰ τὰν ὑπερβολὰν τοῦ μεγέθεος· οὐ γὰρ παραδύεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων, ὥσπερ οὐδ᾽ ἐς τὰ σύστομα τῶν τευχέων, ὅκκα πολύ τις ἐγχέῃ, οὐδὲν ἐγχεῖται.

Ze zvuků, dorážejících na náš sluch, ty, které přicházejí rychle a prudce z úderů, se nám jeví vysokými, a ty, které přicházejí pomalu a slabě, zdají se hlubokými. Neboť vezme-li někdo prut a pohybuje jím lenivě a slabě, způsobí úderem hluboký zvuk, pohybuje-li jím rychle a silně, vysoký. A poznali bychom to nejen tímto způsobem, nýbrž i takto: když chceme mluvíce nebo zpívajíce vydat silný a vysoký hlas, tu vydáváme hlas silným dechem. Děje se to i u střel: prudce vymrštěné střely letí daleko, slabě vymrštěné blízko, neboť prudce letícímu ustupuje vzduch více, mdle letícímu méně. Totéž se stane i s hlasy: hlasy vydávané silným dechem jsou silné a vysoké, hlasy vydávané slabým dechem jsou slabé a hluboké. Můžeme to však vidět i na tomto nejnápadnějším dokladu: vydá-li týž člověk silný hlas, slyšíme ho i z dáli; vydá-li slabý hlas, neslyšíme ho ani z blízka. Ale také v píšťalách, vzniká-li vzduch vycházející z úst do otvorů blízko úst, vydává vyšší zvuk díky prudké síle; když vniká do vzdálenějších otvorů, vydává hlubší zvuk. Je tedy zjevné, že rychlý pohyb činí zvuk vysokým a pomalý pohyb hlubokým. Totéž se věru děje i s kolečky otáčenými při zasvěcováni v mystéria: otáčejí-li se pomalu, vydávají hluboký zvuk, otáčejí-li se prudce, vysoký. Také rákos, ucpe-li se jeho dolní část a fouká-li se do něho, nám vydá jakýsi hluboký hlas; fouká-li se však do poloviny nebo do kterékoli jiné jeho části, zazní vysoko, neboť týž dech prochází velkým prostorem pomalu, menším prudce. (...)
τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται καὶ [ἰσχυρῶς], ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι ἦμεν. αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾶι πλαγᾶι βαρὺν ποιήσει τὸν ψόφον· αἰ δέ κα ταχύ τε καὶ ἰσχυρῶς, ὀξύν. οὐ μόνον δέ κα τούτωι γνοίημεν, ἀλλὰ καὶ ὅκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρῄζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῶι τῶι πνεύματι φθεγγόμενοι *** ἔτι δὲ καὶ τοῦτο συμβαίνει ὥσπερ ἐπὶ βελῶν· τὰ μὲν ἰσχυρῶς ἀφιέμενα πρόσω φέρεται, τὰ δ᾽ ἀσθενῶς, ἐγγύς. τοῖς γὰρ ἰσχυρῶς φερομένοις μᾶλλον ὑπακούει ὁ ἀήρ· τοῖς δὲ ἀσθενῶς, ἧσσον. τωὐτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾶι μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ πνεύματος φερομέναι μεγάλαι τε ἦμεν καὶ ὀξέαι, τᾶι δὲ ὑπὸ ἀσθενέος μικρᾶι τε καὶ βαρέαι. ἀλλὰ μὰν καὶ τούτωι γά κα ἴδοιμες ἰσχυροτάτωι σαμείωι, ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ᾽ ἀκούσαιμες· μικρὸν δέ, οὐδ᾽ ἐγγύθεν. ἀλλὰ μὰν καὶ ἔν γα τοῖς αὐλοῖς τὸ ἐκ τῶ στόματος φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ στόματος τρυπήματα ἐμπῖπτον διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἆχον ἀφίησιν, ἐς δὲ τὰ πόρσω, βαρύτερον· ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον. ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἡσυχᾶι μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δέ, ὀξύν. ἀλλὰ μὰν καὶ ὅ γα κάλαμος, αἴ κά τις αὐτῶ τὸ κάτω μέρος ἀποφράξας ἐμφυσῇ, ἀφήσει [βαρέαν] τινὰ ἁμῖν φωνάν· αἰ δέ κα ἐς τὸ

ἥμισυ ἢ ὁπόστον [ὧν] μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται· τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρόν.
εἰπὼν δὲ καὶ ἄλλα περὶ τοῦ διαστηματικὴν εἶναι τὴν τῆς φωνῆς κίνησιν συγκεφαλαιοῦται τὸν λόγον ὡς·

Že se tedy pohybují vysoké zvuky rychleji a hluboké pomaleji, se nám ukázalo na mnoha věcech.
ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φανερὸν ἁμῖν ἐκ πολλῶν γέγονεν.

**B 1** /1 = Porfyrios, In Ptolem. Harmon. 56 Düring
παρακείσθω δὲ καὶ νῦν τὰ ᾿Αρχύτα τοῦ Πυθαγορείου, οὗ μάλιστα καὶ γνήσια λέγεται εἶναι τὰ συγγράμματα· λέγει δ᾿ ἐν τῶι Περὶ μαθηματικῆς εὐθὺς ἐναρχόμενος τοῦ λόγου τάδε· ᾿καλῶς ... γέγονεν᾿.

**B 1** /2 = Níkomachos, Introductio arithmetica (= Inst. Arith.) I, 3, 4` 6, 16 Hoche
ἀλλὰ καὶ ᾿Αρχύτας ὁ Ταραντῖνος ἀρχόμενος τοῦ ῾Αρμονικοῦ τὸ αὐτὸ οὕτω πως λέγει· ᾿καλῶς ... ἀναστροφὰν ἔχει᾿.

**B 1** /3 = Iamblichos, Vita Pythagor. 160; in Nic. 6, 20 Pistelli
τοὶ γὰρ περὶ τῶν καθόλου [!] ... καλῶς διαγνόντες ... καλῶς ὀψεῖσθαι.

**B 1** /4 = Iamblichos in Nic. 9, 1 (de comm. math. sc. 7; 31, 4 Fest.) 1, 14-15
᾿ταῦτα ... ἀδελφεά᾿.

**B 2** = Porfyrios, In Ptolem. Harmon. 92
(*překlad K. Svobody*)

καὶ ἄλλοι δὲ πολλοὶ τῶν παλαιῶν οὕτω φέρονται, καθάπερ καὶ Διονύσιος ὁ ῾Αλικαρνασσεὺς καὶ ᾿Αρχύτας ἐν τῶι Περὶ μουσικῆς (...) ᾿Αρχύτας δὲ περὶ τῶν εσοτήτων λέγων γράφει ταῦτα·

V hudbě jsou tři střední úměrné: jedna aritmetická, druhá geometrická a třetí převratná, kterou nazývají harmonickou. Aritmetická je tehdy, když jsou tři členy úměrné s takovým rozdílem: o co vyniká první nad druhý, o to druhý nad třetí. V této úměře je podíl větších členů menší a podíl menších členů větší. Geometrická střední úměrná je tehdy, když se má první člen k druhému stejně jako druhý k třetímu. Přitom je podíl větších i menších členů stejný. Převratná střední úměrná, kterou nazýváme harmonickou, je pak tehdy, jsou-li členy

takovéto: o kterou část sebe samého vyniká první člen nad druhý, o tutéž část třetího členu vyniká střední člen nad třetí. A v této úměře je podíl větších členů větší a menších menší.
μέσαι δέ ἐντι τρῖς τᾶι μουσικᾶι, μία μὲν ἀριθμητικά, δευτέρα δὲ ἁ γεωμετρικά, τρίτα δ᾽ ὑπεναντία, ἃν καλέοντι ἁρμονικάν. ἀριθμητικὰ μέν, ὅκκα ἔωντι τρεῖς ὅροι κατὰ τὰν τοίαν ὑπεροχὰν ἀνὰ λόγον· ᾧι πρᾶτος δευτέρου ὑπερέχει, τούτωι δεύτερος τρίτου ὑπερέχει. καὶ ἐν ταύται [τᾶι] ἀναλογίαι συμπίπτει ἦιμεν τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον. ἁ γεωμετρικὰ δέ, ὅκκα ἔωντι οἷος ὁ πρᾶτος ποτὶ τὸν δεύτερον, καὶ ὁ δεύτερος ποτὶ τὸν τρίτον. τούτων δ᾽ οἱ μείζονες ἴσον ποιοῦνται τὸ διάστημα καὶ οἱ μείους. ἁ δ᾽ ὑπεναντία, ἃν καλοῦμεν ἁρμονικάν, ὅκκα ἔωντι [τοῖοι· ᾧι] ὁ πρᾶτος ὅρος ὑπερέχει τοῦ δευτέρου αὐταύτου μέρει, τούτωι ὁ μέσος τοῦ τρίτου ὑπερέχει τοῦ τρίτου μέρει. γίνεται δ᾽ ἐν ταύται τᾶι ἀναλογίαι τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖζον, τὸ δὲ τῶν μειόνων μεῖον.

**B 3**

Vědění musíme nabývat buď tím, že se naučíme od někoho jiného, nebo že sami nalezneme, co jsme nevěděli. Učíme se od jiného a s cizí pomocí, nalézáme však skrze sebe samy a vlastním přičiněním. Nalézt nehledáme-li, je obtížné a vzácné; hledáme-li, je to snadné a lehké; neumíme-li však hledat, je to nemožné.
δεῖ γὰρ ἢ μαθόντα παρ᾽ ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν ὦν μαθὲν παρ᾽ ἄλλω καὶ ἀλλοτρίαι, τὸ δὲ ἐξευρὲν δι᾽ αὔταυτον καὶ ἰδίαι· ἐξευρεῖν δὲ μὴ ζατοῦντα ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ εὔπορον καὶ ῥάιδιον, μὴ ἐπιστάμενον δὲ ζητεῖν ἀδύνατον.

Nalezení výpočtu ukončí svár a zvětší svornost. Neboť nalezne-li se, není již nadvlády a je rovnost, ježto se jím dohodneme o vzájemných stycích. Pro něj berou chudí podporu od zámožných, bohatí dávají potřebným a obojí důvěřují, že podle něho budou mít stejně. On je měřítkem i brzdou nespravedlivých a ty, kdo dovedou počítat, zadržuje, než ukřivdí, ježto je přesvědčí, že se nebudou moci ukrýt, přistoupí-li k výpočtu. Těm pak, kdo dovedou počítat, zabrání v křivdě, ježto jim objasní, že právě tím křivdí.
στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς· πλεονεξία τε γὰρ οὐκ ἔστι τούτου γενομένου καὶ ἰσότας ἔστιν· τούτωι γὰρ περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα. διὰ τοῦτον οὖν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἶσον ἕξειν. κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων [ἐὼν] τοὺς μὲν ἐπισταμένους λογίζεσθαι πρὶν ἀδικεῖν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται

λαθεῖν, ὅταν ἐπ᾽ αὐτὸν ἔλθωντι· τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῶι δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.

**B 3** /1 = Stobaios, Anthologium IV, 1, 139
ἐκ τοῦ ᾽Αρχύτου Περὶ μαθημάτων· ᾽δεῖ ... ἀδικῆσαι᾽.

**B 3** /2 = Iamblichos, De comm. math. Sc. 11; 44, 10 Fest.
διόπερ ὁ ᾽Αρχύτας ἐν τῶι Περὶ μαθηματικῶν λέγει ᾽δεῖ ... ἀδύνατον᾽.

*Rozpravy*
*ΔΙΑΤΡΙΒΑΙ*

**B 4** = Stobaios I, pr. 4 (18, 8 Wa.)

Z Archýtových *Rozprav*:
Myslím si také, že početní nauka co do moudrosti velice vyniká nad ostatní, vždyť vše, co chce, pojednává zřetelněji i než geometrie. (...) u věcí, při kterých geometrie vázne, přináší početní nauka důkazy a současně – pokud je nějaké pojednání tvarů – pojednává též o tom, co souvisí s tvary...

ἐκ τῶν ᾽Αρχύτου Διατριβῶν.
καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει. *** καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν...

*O desítce*
*ΠΕΡΙ ΤΗΣ ΔΕΚΑΔΟΣ*

**B 5** = Theón Smyrn., De utilitate mathematicae 106, 7 Hiller
ἡ μέντοι δεκὰς πάντα περαίνει τὸν ἀριθμὸν ἐμπεριέχουσα πᾶσαν φύσιν ἐντὸς αὑτῆς, ἀρτίου τε καὶ περιττοῦ κινουμένου τε καὶ ἀκινήτου ἀγαθοῦ τε καὶ κακοῦ· περὶ ἧς καὶ ᾽Αρχύτας ἐν τῶι Περὶ τῆς δεκάδος καὶ Φιλόλαος ἐν τῶι Περὶ φύσιος (Filoláos B 11) πολλὰ διεξίασιν.

*O píšťale*

*ΠΕΡΙ ΑΥΛΩΝ*

**B 6** = Athénaios IV; 184e = IV, 84 Kaibel
καὶ τῶν Πυθαγορικῶν δὲ πολλοὶ τὴν αὐλητικὴν ἤσκησαν, ὡς Εὐφράνωρ τε καὶ Ἀρχύτας Φιλόλαός τε ἄλλοι τε οὐκ ὀλίγοι. ὁ δ᾽ Εὐφράνωρ καὶ σύγγραμμα Περὶ αὐλῶν κατέλιπεν· ὁμοίως δὲ καὶ ὁ Ἀρχύτας.

*O mechanice*
*ΠΕΡΙ ΜΗΧΑΝΗΣ*

**B 7** = Vitruvius, De architectura VII, praef. 14

Rovněž o strojnictví [psali mnozí méně význační autoři], například Diadés, Archýtás, Archimedés, Ktésibos, (…).

non minus de machinationibus [conscripserunt] uti Diades, Archytas, Archimedes, Ctesibios, Nymphodorus, Philo Byzantius (...).

*O zemědělství*
*ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ*

**B 8** = Varro, Res Rusticae I, 1, 8
qui graece scripserunt [de re rustica] ... de philosophis Democritus physicus, Xenophon Socraticus, Aristoteles et Theophrastus peripatetici, Archytas Pythagoreus.

**B 9**

1. *O počátku*
1. Περὶ ἀρχᾶν - Stobaios, Anthologium I, 41, 2 Wachsmuth

2. *O jsoucím*
2. Περὶ τοῦ ὄντος - Stobaios, Anthologium II, 2, 4

3. *O veškerenstvu* - *O poměrech celku* (*O řečech povšechně* ?)- *O rodech* - *O místech* - ?
3. Περὶ τοῦ παντός - Περὶ τῶν καθόλου λόγων - Περὶ γενῶν - Πρὸ τῶν τόπων - ?

4. *O protilehlých* (*O odpůrcích* ?)

4. Περὶ ἀντικειμένων - Simplikios (?)

5. *O myšlení a vnímání*
5. Περὶ νοῦ καὶ αἰσθάσιος - Stobaios, Anthologium I, 48, 6 (Iamblichos, Protrepticus 10; 55, 8 Pistelli)

6. *O mravní výchově* (*Pro soutěže chlapců*)
6. Περὶ παιδεύσεως ἠθικῆς - Stobaios, Anthologium II, 31, 120; Anthologium III, 1, 105-106 H. (= ὑπὲρ παίδων ἀγωγῆς - Filostratos, Vita Apoll. VI, 31)

7. *O dobrém muži a blaženosti*
7. Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος - Stobaios, Anthologium III, 1, 107; III, 3, 65; IV, 50a, 28

8. *O moudrosti*
8. Περὶ σοφίας - Iamblichos, Protrepticus 4; 16, 17n. Pistelli

9. *O zákonu a spravedlnosti*
9. Περὶ νόμου καὶ δικαιοσύνης - Stobaios, Anthologium IV, 1, 135-138 (132?)

10. *O duši* (?)
10. Περὶ ψυχῆς (?)

11. *Zákusky z ryb*
11. Ὀψαρτυτικά - Athénaios, Deipnosophistae XII; 516c = XII, 12 Kaibel

12. *Listy* (pseudo)
12. Epistulae (pseudo) - Diogenés Laertios, Vitae philosophorum III, 22; VIII, 80

**B 9** /1 = Stobaios, Anthologium I, 41, 2 W. (fr. 4 phil. Gr. I; 567 Mullach.)

Ἐκ τοῦ Ἀρχύτου Περὶ ἀρχᾶν.
Ἀνάγκα [καὶ] δύο ἀρχὰς εἶμεν τῶν ὄντων, μίαν μὲν τὰν συστοιχίαν ἔχοισαν τῶν τεταγμένων καὶ ὁριστῶν, ἑτέραν δὲ τὰν συστοιχίαν ἔχοισαν τῶν ἀτάκτων καὶ ἀορίστων. Καὶ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν καὶ τὰ ἐόντα ὁμοίως συνέχεν καὶ τὰ μὴ ἐόντα ὁρίζεν καὶ συντάσσεν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς γινομένοις εὐλόγως καὶ εὐρύθμως ἀνάγεν ταῦτα καὶ τὸ καθόλω οὐσίας τε καὶ ἰδέας μεταδιδόμεν)· τὰν δ᾽ ἄλογον καὶ ἄρρητον καὶ τὰ συντεταγμένα λυμαίνεσθαι καὶ

τὰ ἐς γένεσίν τε καὶ ὠσίαν παραγενόμενα διαλύεν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς πράγμασιν ἐξομοιοῦν αὑτᾷ ταῦτα).
᾽Αλλ᾽ ἐπείπερ ἀρχαὶ δύο κατὰ γένος ἀντιδιαιρεόμεναι τὰ πράγματα τυγχάνοντι τῷ τὰν μὲν εἶμεν ἀγαθοποιόν, τὰν δ᾽ εἶμεν κακοποιόν, ἀνάγκα καὶ δύο λόγως εἶμεν, τὸν μὲν ἕνα τᾶς ἀγαθοποιῶ φύσιος, τὸν δ᾽ ἕνα τᾶς κακοποιῶ. Διὰ τοῦτο καὶ τὰ τέχνᾳ καὶ τὰ φύσι γινόμενα δύο τούτων πράτων μετείληφε, τᾶς τε μορφῶς καὶ τᾶς ὠσίας. Καὶ ἁ μὲν μορφώ ἐντι ἁ αἰτία τῶ τόδε τι εἶμεν· ἁ δὲ ὠσία τὸ ὑποκείμενον, παραδεχόμενον τὰν μορφώ.
Οὔτε δὲ τᾷ ὠσίᾳ οἷόν τέ ἐντι μορφῶς μετεῖμεν αὐτᾷ ἐξ αὑτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν, ἀλλ᾽ ἀνάγκα ἁτέραν τινὰ εἶμεν αἰτίαν, τὰν κινάσοισαν τὰν ἐστὼ τῶν πραγμάτων ἐπὶ τὰν μορφώ· ταύταν δὲ τὰν πράταν τᾷ δυνάμι καὶ καθυπερτάταν εἶμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ᾽ αὐτὰν ποθάκει θεόν· ὥστε τρεῖς ἀρχὰς εἶμεν ἤδη, τόν τε θεὸν καὶ τὰν ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφώ. Καὶ τὸν μὲν θεὸν [τὸν] τεχνίταν καὶ τὸν κινέοντα, τὰν δ᾽ ἐστὼ τὰν ὕλαν καὶ τὸ κινεόμενον, τὰν δὲ μορφὼ τὰν τέχναν καὶ ποθ᾽ ἃν κινέεται ὑπὸ τῶ κινέοντος ἁ ἐστώ.
᾽Αλλ᾽ ἐπεὶ τὸ κινεόμενον ἐναντίας ἑαυτῷ δυνάμιας ἴσχει τὰς τῶν ἁπλόων σωμάτων, τὰ δ᾽ ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκα ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας καὶ τὰ ἐν ἀριθμοῖς καὶ γαμετρικοῖς δεικνύμενα παραλαμβάνεν, ἃ καὶ συναρμόξαι καὶ ἑνῶσαι τὰν ἐναντιότατα δυνασεῖται ἐν τᾷ ἐστοῖ τῶν πραγμάτων ποττὰν μορφώ. Καθ᾽ αὑτὰν μὲν γὰρ ἔσσα ἁ ἐστὼ ἄμορφός ἐντι, κιναθεῖσα δὲ ποττὰν μορφὰ ἔμμορφος γίνεται καὶ λόγον ἔχοισα τὸν τᾶς συντάξιος. ῾Ομοίως δὲ καὶ τὸ δι᾽ ὃ κινέεται τὸ κινεόμενόν ἐντι τὸ πράτως κινέον· ὥστ᾽ ἀνάγκα τρεῖς εἶμεν τὰς ἀρχάς, τάν τε ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφὼ καὶ τὸ ἐξ αὑτῶ κινατικὸν καὶ πρᾶτον τᾷ δυνάμι. Τὸ δὲ τοιοῦτον οὐ νόον μόνον εἶμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐντί, ὅπερ ὀνομάζομεν θεόν, φανερόν.
῾Ο μὲν τῶ ἴσω λόγος περὶ τὰν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἐντί· ὁ δὲ τῶ ἀνίσω περὶ τὰν ἄλογον καὶ ἄρρητον· αὕτα δ᾽ ἐντὶ ἁ ἐστώ· καὶ διὰ τοῦτο γένεσις καὶ φθορὰ γίνεται περὶ ταύταν καὶ οὐκ ἄνευ ταύτας.

**B 9** /2 = Stobaios, Anthologium II, 2, 4 (Mullach. Ph. I; 569)
᾽Αρχύτου περὶ τοῦ ὄντος.
Παντᾷ μοι δοκέοντι ἁμαρτάνεν οἱ λέγοντες δύο λόγως περὶ παντὸς λεγέσθαι ἀντίως ἀλλάλοις καὶ ναμαρτέας ἀμφοτέρως. ᾽Εγὼ δὲ πρᾶτον τοῦτ᾽ ἀδύνατον νομίζω, ἀμφοτέρων πιστῶν ἐόντων ἀντίως εἶμεν ἀλλάλοις, τὸ καλὸν τῷ καλῷ καὶ τὸ λευκὸν τῷ λευκῷ. ᾽Αλλὰ γὰρ οὐχ οὕτως ἔχει· ἀλλὰ ἔστι τὸ καλὸν καὶ [τὸ]

αἰσχρὸν ἀντία, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. Οὕτω δὲ καὶ τὸ ναμαρτὲς τῷ ψεύδει φαμές, οὐδὲ ναμαρτέας [ἀντίως] δύο λόγως λεγέσθαι ἢ δύο ψευδέας, ἀλλὰ τὸν μὲν ἀλαθέα, τὸν δὲ ψεύσταν. Ὁ γὰρ τὰν ψυχὰν ἐπαινέων τῶ ἀνθρώπω καὶ [ὁ] τὸ σῶμα μεμφόμενος οὐχ ὑπὲρ τωὐτῶ λέγοντι· αἰ μὴ καὶ αἴ τι περὶ τᾶς γᾶς λέγοιεν καὶ τῶ οὐρανῶ, τωὐτόν. Ταῦτα γὰρ δύο ἐντί, ἀλλ᾽ οὐχ ἕν. Ὀνομαστὶ δὲ θέλω καὶ τοῦτο δείξαι. Ὁ γὰρ λέγων περὶ Ἀθαναίων ὡς ἐντὶ κατὰ λόγον ἄνδρες ἀγαθοί, καὶ ὁ λέγων ὡς ἐντὶ περὶ χάριτας φαῦλοι, οὐκ ἀντία λέγοντι· τὰ γὰρ ἀντία περὶ τωὐτῶ πράγματος ἀντικέαται ἀλλάλοις, ταῦτα δὲ δύο ἐντὶ πράγματα.

**B 9** /3 = ?

**B 9** /4 = Simplikios (?)

**B 9** /5 = Stobaios, Anthologium I, 48, 6 (fr. phil. Gr. I; 565 Mullach.)

Ἀρχύτου ἐκ τοῦ Περὶ νόω καὶ αἰσθάσιος.
Αἴσθασις μὲν ἐν σώματι γίνεται, νόος δ᾽ ἐν ψυχᾷ. Τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθατῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. Πλάθεος μὲν γὰρ μέτρον ἀριθμός, μάκεος δὲ ποῦς, ῥοπᾶς δὲ καὶ σταθμῶ ζυγόν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθὰ γωνία· οὕτως δὲ καὶ τῶν μὲν αἰσθατῶν αἴσθασις [μέτρον], τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐντί. Καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τε [καὶ] φύσι πράτων· ἁ δὲ αἴσθασις [δευτέρων τε φύσι καὶ τῶν παρ᾽] ἁμῖν· ὃ μὲν γάρ ἐντι ἀρχὰ τᾷ ψυχᾷ, ἃ δὲ τῷ σώματι. Καὶ ὁ μὲν νόος τῶν τιμιαιτάτων ἐντὶ κριτάς, ἁ δ᾽ αἴσθασις τῶν χρησιμωτάτων. Ἁ μὲν γὰρ αἴσθασις τῶ σώματος ἕνεκε συνέστακε καὶ τᾶς εἰς τοῦτο λειτουργίας· ὁ δὲ νόος [τᾶς ψυχᾶς ἕνεκε] καὶ τᾶς εἰς ταύταν πολυφραδμοσύνας. Καὶ ὁ μὲν νόος ἐντὶ ἀρχὰ τᾶς ἐπιστάμας, ἁ δ᾽ αἴσθασις τᾶς δόξας· ἃ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὃ δὲ τὰν ἐκ τῶν νοατῶν. Τυγχάνοντι δὲ τὰ μὲν αἰσθατὰ τῶν πραγμάτων κινάσιος μεταβλάσιός τε κοινανέοντα, τὰ δὲ νοατὰ στάσιος καὶ αἰδιότατος. Παραπλασίως δὲ καὶ ἁ αἴσθασις καὶ ὁ νόος ἔχοντι· ἁ μὲν γὰρ αἴσθασις τῶ αἰσθατῶ, τὸ δ᾽ αἰσθατὸν καὶ κινέεται καὶ μεταβάλλει καὶ οὐδέποκα ἐν ταὐτῷ ἀτρεμέει· διὸ καὶ μᾶλλον καὶ ἧττον καὶ βέλτιον καὶ χεῖρον γίνεται ὁρῆν [τὸ αἰσθατόν]· ὁ δὲ νόος τῶ νοατῶ, τὸ δὲ νοατὸν ἀκίνατον ἐξ ὠσίας· διὸ οὔτε μᾶλλον οὔτε ἧττον οὔτε βέλτιον οὔτε χεῖρον ἔντι νοὲν τὸ νοατόν. [Καὶ] καθάπερ [ὁ] νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα καὶ τὸ δεύτερον· ὁ μὲν γὰρ νόος οὐρανὸν ἁπλῶς [ἢ τέχναν], ἁ δ᾽ αἴσθασις ἁπλῶς τὰν τῶ ἁλίω σφαῖραν ἢ τὰς

χειροτεχνατῶν. Ἔτι [ὁ] μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος, καθάπερ μονὰς καὶ στιγμά, παραπλασίως δὲ καὶ τὸ νοατόν (τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐντι οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τῶ ἐόντος, ᾇ ἐόν ἐντι), ἁ δ᾽ αἴσθασις μεριστὰ καὶ διαιρετά. Τῶν γὰρ ἐόντων ἐντὶ τὰ μὲν αἰσθατά, τὰ δὲ δοξαστά, τὰ δ᾽ ἐπιστατά, τὰ δὲ νοατά. Καὶ τὰ μὲν σώματα, ὧν ἔντι τις ἀντιτυπία, αἰσθατά· δοξαστὰ δὲ τὰ μετέχοντα τῶν εἰδέων ὡς αἱ εἰκόνες, οἷον ὁ τὶς ἄνθρωπος τῶ ἀνθρώπω καὶ τὸ [τὶ] τρίγωνον τῶ τριγώνω· ἐπιστατὰ δὲ τὰ τοῖς εἴδεσι συμβεβακότα ἐξ ἀνάγκας, ὡς ἐν γαμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ αὐτὰ τὰ εἴδεα καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον αὐτὸ κύκλος καὶ τρίγωνον καὶ σφαῖρα. Τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώσιες τέτταρες· νόος, ἐπιστάμα, δόξα, αἴσθασις· ὧν αἱ μὲν δύο τῶ λόγω ἀρχαί ἐντι, οἷον νόος καὶ αἴσθασις, τὰ δὲ δύο τέλεα, οἷον ἐπιστάμα καὶ δόξα. Τὸ δ᾽ ὅμοιον ἀεὶ τῶ ὁμοίω γνωστικόν. Φανερὸν [ὦν] ὅτι ὁ μὲν νόος ἐν ἁμῖν τῶν νοατῶν γνωστικός, ἁ δὲ ἐπιστάμα τῶν ἐπιστατῶν, [ἁ δὲ δόξα τῶν δοξαστῶν,] ἁ δὲ αἴσθασις τῶν αἰσθατῶν.

Cfr. Iamblichos, Protrepticus 10; 55, 8 Pistelli.

**B 9** /6 = Stobaios, Anthologium II, 31, 120 (fr. 8, phil. II; 120 Mullach.)
᾽Αρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ παιδεύσεως ἠθικῆς.
Φιλοσοφίαν φαντὶ ὄρεξιν εἶμεν τῶ ἀναλαμβάνεν ἢ συνέχεν αὔταυτον ἐν ἀρετᾷ πρακτικᾷ καττὰν ἔφεσιν τᾶς σοφίας δι᾽ αὐταύταν· ταύτας δ᾽ ἀρχὰν μὲν τὰν φύσιν προειδέμεν, μέσα δὲ τὰν ἄσκησιν, τέρμα δὲ τὰν εἴδησιν φέρεν. Εὐτυχὲς μὲν ὦν εἶμεν φῦναι εὖ, τραφῆμέν τε καὶ ἀχθῆμεν καττὸν ὀρθὸν νόμον καθομόλογά τε τᾷ φύσι ἔθεα· δεῖ δ᾽ ἀσκηθῆμεν ὑπό τε γενέτορας ἢ ἐπιτρόπως, παιδευτάς τε σώφρονας γενέσθαι· καλὸν δὲ τὸ αὐτὸν αὑτῷ ποτιτάσσεν τὰ ἄριστα, μηδὲ ποτιδέεσθαι ἀνάγκας, εὐπειθέα δ᾽ εἶμεν τοῖς ὑφαγεομένοις τὰ ἄριστα ποτὶ πρᾶξιν καὶ εἴδησιν· ταὶ γὰρ εὐφυῖαι καὶ ταὶ καλαὶ τροφαὶ πολλάκις φθάνοντι τὰς διδασκαλίας ἐς ὀρθότατα ἄγοισαι, ἀποδέοντι δὲ μόνον λόγω ἁγεμόνος, τὸν ἐντίθητι ἐπιστάμα. Δύο μὲν ὦν ἔντι βίοι ἀντίπαλοι, τοὶ τῶν πρατήων ἀντιποιεύμενοι, πρακτικός τε καὶ φιλόσοφος· πολὺ δὲ κάρρων δοκέει εἶμεν ὁ ἐξ ἀμφοτέρων κεκραμένος ποτὶ καιρὼς τὼς ἁρμόσδοντας συντεταγμένος καθ᾽ ἑκατέραν διέξοδον. Γεγόναμες γὰρ ποτ᾽ ἐνέργειαν νοεράν, ἃν καλέομες πρᾶξιν· τᾶς δὲ διανοίας ἁ μὲν πρακτικὰ ἐπὶ τὰν πολιτικὰν φέρεται, ἁ δὲ ἐπισταμονικὰ ἐπὶ τὰν θέαν τῶν συμπάντων, αὐτὸς δ᾽ ὁ καθόλω νόος ταύτας τὰς δύο δυνάμιας ἀμπέχων ἐπὶ τὰν εὐδαιμονίαν, τὰν φαμὲς ἐνέργειαν ἀρετᾶς ἐν εὐτυχίᾳ εἶμεν, οὔτε πρακτικὰν ἔασαν μόνον ὥστε καὶ μὴ τὰν ἐπιστάμαν περιέχεν, οὔτε θεωρητικὰν ὡς ἄπρακτον εἶμεν· ἁ γὰρ τέληος διάνοια ποτὶ δύο ἀρχὰς

ἐπικρατέας ῥέπει, ποθ᾽ ἃς καὶ ὁ ἄνθρωπος πέφυκε, τάν τε κοινανικὰν καὶ τὰν εἰδημονικάν· καὶ γὰρ αἱ κατὰ τοίας ἀντιλήψιας δοκέοντι ἀντιθλίβεν ἀλλάλας ταὶ ἀγωγαί (ταὶ μὲν γὰρ πολιτικαὶ ἀφέλκοισαι τᾶς θεωρίας, ταὶ δὲ θεωρητικαὶ ἀπὸ τᾶς πολιτείας μετάγοισαι ἐς ἁσυχίαν), ἀλλ᾽ ὧν τὰ πέρατα συναψαμένα ἁ φύσις ἀπέδειξεν ἐν τὠυτῷ ἁνωμένα· οὐ γὰρ ἀντιπαθέες ἔντι ταὶ ἀρεταί, ἀλλ᾽ ἁρμονίας ἁπάσας συμφωνότεραι. Αἰ δέ κά τις ἐκ νέω ὁρμαθεὶς αὐτὸς ἁρμόσδηται ἐς τὰς ἀρχὰς τᾶν ἀρετᾶν καὶ τὸν θεῖον νόμον τᾶς τῶ κόσμω ἁρμονίας, εὔροον βίον διεξαξεῖ· αἰ δέ κα αὐτὸς καθ᾽ αὑτὸν πλαζόμενος τύχῃ ἁγεμόνων καρρόνων, ἀπευθύνεν τὸν δρόμον δυνασεῖται ποτὶ μακαριότατα, ὥσπερ τοὶ ἀτυχέοντες ἐν πλόῳ ἀνύοντι τὰν θάλασσαν διὰ τᾶς κυβερνατικᾶς [τᾶς] εὐπλοίας ἐφιέμενοι, ὅπερ ἐν βίῳ τᾶς εὐδαιμονίας. Αἰ δὲ μήτ᾽ αὐτὸς νοέοι τὰ ποτίφορα, μήτ᾽ ἐπιτρόπων τύχοι ἐμφρόνων, οὐδὲν ὄφελος χοραγίας ἀφθόνω· ἀφροσύνα γάρ, αἰ καὶ ἐς τἆλλα εὐτυχεῖ, κακοδαίμων ἐσαιεί ἐστιν. Ἐπεὶ δ᾽ ἐν ἅπαντι πρᾶτον ἀνάγκα σκοπᾶν μὲν τὸ τέλος (τοῦτο γὰρ ποιέοντι κυβερνᾶται μὲν λιμένα (νεὼς) ἐς ὃν καταχθήσονται προτιθέμενοι, ἁνίοχοι δὲ τέρμα δρόμω, τοξόται δὲ καὶ σφενδονᾶται σκοπόν, ποθ᾽ ὃν παντᾷ ἁρμόσδονται), ἀνάγκα καὶ τᾷ ἀρετᾷ προκέεσθαί τινα ὥσπερ τέχνᾳ τῶ βίω σκοπὸν ἢ πρόθεσιν, ταῦτα γὰρ ὀνυμαίνω καθ᾽ ἑκατέρων· τοῦτο δὲ φαμὶ εἶμεν τῶν μὲν πρακτικῶν τὸ κράτιστον, [τῶν δὲ ἐπισταμονικῶν τὸ σοφώτατον], τῶ δὲ βίω τὸ τέληον ἀγαθόν, τὸ λέγοντι [τοὶ] τἀνθρώπεια σοφοὶ εὐδαιμονίαν. Ταύταν δὲ οὔτε κατὰν ἀλάθειαν κρίνεν δύνανται τοὶ κακῶς ἔχοντες, οὔτε ἑλέσθαι ἰσχύοντι τοὶ μὴ ἐκδαλότατα ὁρέοντες αὐτάν· τίνοντι δὲ δίκας ἀφροσύνας τοὶ ἁδονᾷ τὸ ἄριστον διδόντες, κολάσδονται τοὶ τὰν ἀναλγησίαν πάντων προτιμέοντες, καθόλω δ᾽ εἰπέν, ἄγχονται ἐν κακᾷ ζάλᾳ τοὶ ἐν εὐπαθείᾳ σωμάτων ἢ ἐν ψυχᾶς ἀλόγῳ κατασκευᾷ ἀπολιπόντες τὰν εὐδαίμονα ζωάν. Οὐδὲ πολλὸν ἀπὸ τούτων εὐτυχέστεροί ἐντι τοὶ ἐξαίροντες μὲν τὸ καλόν, ὡς καττούτω τί μὴ λέγεν, ὁμότιμον δὲ αὐτῷ τὰν ἁδονὰν καὶ τὰν ἀναλγησίαν καὶ τὰς εὐπαθείας τὰς πράτας καὶ φυσικὰς καὶ ἀλόγως ὁρμὰς ἢ σώματος ἢ ψυχᾶς ἀντέχοντες· ἑκάτερα γὰρ ἀδικέοντι, τὰν μὲν ψυχικὰν ἀκρότατα καὶ τὰ ἔργα αὐτᾶς κατάγοντες ἐς ἰσότατα ποττὰν τοῦ σώματος τεληότατα, τὰν δὲ σωματικὰν εὐεξίαν ἐς ὕψος ἀντικαθιστάντες τᾷ ψυχικᾷ ἁδονᾷ· ἐνεμεσήθη δὲ καὶ ἁ φύσις καὶ τὸ θεῖον τᾷ τούτων διακράσι· οὐ γὰρ φυλάσσοντι τὰν ἀξίαν τῶ κάρρονος ποττὸ χεῖρον. Ἀλλ᾽ ἁμές γε λέγομες σῶμα μὲν εἶμεν ψυχᾶς ὄργανον, νόον δὲ ἁγεμόνα τᾶς τε ἄλλας ψυχᾶς καὶ τῶ σκάνεος αὐτᾶς, τὰν δ᾽ ἐς τἆλλα εὐτυχίαν φυσικὰν ὀργανικὰν τᾷ νοερᾷ ἐνεργείᾳ εἶμεν, αἴ κα παντελὴς δυνάμι τε καὶ χρόνῳ καὶ χοραγίᾳ ᾖ.

**B 9** /6b = Stobaios, Anthologium III, 1, 105-106 (fr. 12 phil. Gr. I; 557 Mullach.)

᾿Αρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ παιδεύσεως ἠθικῆς.
Φαμὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονὲν ἱκανάν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονέν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνωμες. αἰεὶ μὲν γὰρ κακοδαιμονὲν ἀνάγκα τὸν κακόν, αἴτε ἔχει ὕλαν (κακῶς τε γὰρ αὐτᾷ χρέεται) αἴτε σπανίζει· ὡς καὶ τὸν τυφλόν ..., αἴτε φῶς ἔχει καὶ λαμπρότατα ὁρατάν, αἴτε ἐν σκότει διατελεῖ· οὐκ αἰεὶ δὲ εὐδαιμονὲν τὸν ἀγαθόν. οὐ γὰρ ἁ κτᾶσις τᾶς ἀρετᾶς εὐδαιμονία ἧς, ἀλλ᾿ ἁ χρᾶσις. καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν οὐχ ὁρῇ αἰεί· αἰ γὰρ μὴ ἔχει φῶς, οὐκ ὄψεται. δύο δ᾿ ὁδοὶ τέμνονται ἐν βίῳ, ἃ μὲν σκυθρωποτέρα, τὰν ὁ τλάμων ἐβάδιζεν ᾿Οδυσσεύς, ἃ δὲ εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ. τὰν ὦν ἀρετάν φαμι δήλεσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐσταθέα διὰ τὸ γνώμας τελεσθῆμεν· ὥστε ἃ μὴ δήληταί τις παριόντα, οὐκ εὐδαίμων μέν, οὐ μὰν πάντα κακοδαίμων.
(106) ᾿Εν ταὐτῷ.
Μὴ ὦν ἄνοσον καὶ ἀνάλγητον τολμώντων τὸν ἀγαθὸν εἰπέν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν· ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομες, οὕτω καὶ ψυχᾷ ἐπώδυνα. ἀλλὰ ταὶ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλοντι· ταὶ δὲ φρονίμων ἐς ὅσον κα λόγος ἐπιτρέποι ὁρίδδων τὰ πράγματα. ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἀδιαφόροις καὶ μὴ κακοῖς θανάτῳ τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκῃ. εὐκαταγώνιστα γὰρ τὰ μὴ κακά. ἀσκητέον ὦν ποττὰν μετριοπάθειαν ἴμεν, ὡς τό τε ἀνάλγητον ἐς ἴσον τῷ ἐμπαθεῖ φεύγωμες, μηδὲ μέζον φύσιος τᾶς ἁμετέρας φθεγγώμεθα.

**B 9** /6c = Filostratos, Vita Apoll. VI, 31

καὶ τὸν ᾿Αρχύτου δ᾿ ἂν εἴποιμι νυνὶ λόγον, γενναῖος γὰρ καὶ μαθεῖν ἄξιος· ἐγένετο ὁ ᾿Αρχύτας ἀνὴρ Ταραντῖνος τὰ Πυθαγόρου σοφός· οὗτος ὑπὲρ παίδων ἀγωγῆς γράφων ἔστω φησὶν ὁ πατὴρ παράδειγμα ἀρετῆς τοῖς παισίν, ὡς καὶ τῶν πατέρων ξυντονώτερον βαδιουμένων ἐπὶ τὰς ἀρετάς, ἣν ὁμοιῶνταί σφισιν οἱ παῖδες.

**B 9** /7 = Stobaios, Anthologium III, 1, 107-114 (fr. 1 ap. Mullach phil. Gr. I; p. 553).

Τοῦ αὐτοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος.
Πρᾶτον μὲν ὦν χρὴ τοῦτο γινώσκεν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐστίν, ὁ δὲ εὐδαίμων καὶ ἀγαθὸς ἀνήρ ἐστιν. ὁ μὲν γὰρ

εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται, ὁ δὲ ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. γίνεται δὲ ὁ μὲν ἔπαινος ἐπ᾽ ἀρετᾷ, ὁ δὲ μακαρισμὸς ἐπ᾽ εὐτυχίᾳ. καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ᾽ ἀρετᾶς ἀγαθοῖς γίνεται τοιοῦτος, ὁ δ᾽ εὐδαίμων καὶ ἐπὶ τοῖς διὰ τύχαν· καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἀναφαίρετον ἔχει τὰν ἀρετάν, ὁ δ᾽ εὐδαίμων ἔστιν ὅκ᾽ ἀφαιρέεται τὰν εὐδαιμοσύναν. τᾶς μὲν γὰρ ἀρετᾶς ἀνυπεύθυνος ἁ δύναμις, τᾶς δ᾽ εὐδαιμοσύνας εὐθυνομένα. νόσοι τε γὰρ μακραὶ σώματος καὶ πηρώσιες αἰσθαταρίων ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας.

(108) Ἐν ταὐτῷ. (fr. 2 phil. Gr. I; 553 Mullach.)

Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ, ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διυλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνατῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς ποτ᾽ αἰωνίων ἔργων σεμνότατά τε καὶ μεγαλοπρέπειαν· ἄνθρωπος δ᾽ οὐ μόνον τῷ θνατῷ τᾶς φύσιος καταστάματι μῄονα ταύταν πέπαται, ἔστι δ᾽ ὅκα καὶ δι᾽ ἀγαθῶν ἀμετρίαν καὶ διὰ συνήθειαν ἰσχυρὰν καὶ διὰ φύσιν μοχθηρὰν καὶ δι᾽ ἄλλας αἰτίας πολλὰς ἀδυνατέει κατ᾽ ἄκρας γεναθῆμεν παναλαθέως ἀγαθός.

(109) Ἐν ταὐτῷ. (fr. 3 l.; p. 553 Mullach)

Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέ κα εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν, καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐκδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐνδεχομένων, καὶ μὴ μόνον αὔταυτον οὕτως διατιθείς, ἀλλὰ καὶ τὼς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένως.

(110) Ἐν ταὐτῷ. (fr. 4 l; p. 553n. Mullach)

Ἐπεὶ ὦν τῶν ἀγαθῶν ἃ μὲν αὐτά ἐντι δι᾽ αὔταυτα αἱρετά, οὐ μὰν δι᾽ ἅτερον· ἃ δὲ δι᾽ ἅτερον, οὐ μὰν δι᾽ αὔταυτα· εἴη [ὦν] [κα] καὶ τρίτον τι εἶδος ἅτερον ἀγαθῶν, ὃ καὶ δι᾽ αὔταυτον αἱρετόν ἐντι καὶ δι᾽ ἅτερον. τίν᾽ ὦν (οὖν) ἐντὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἅπερ αὐτὰ δι᾽ αὔταυτα αἱρετὰ πέφυκεν ἦμεν, οὐ μὰν δι᾽ ἅτερον; φανερὸν ὅτι ἁ εὐδαιμοσύνα. ταύτας γὰρ ἕνεκα τὰ ἄλλα αἱρεόμεθα, αὐτὰν δὲ ταύταν οὐδενὸς ἁτέρω. τίνα δὲ πάλιν ἐντί, ἃ δι᾽ ἅτερον μὲν αἱρεόμεθα [αὐτὰν δὲ ταύταν αἱρεόμεθα] οὐ μὰν δι᾽ αὔταυτά γε; δᾶλον ὅτι τὰ ὠφέλιμα καὶ τὰ προαιρετικὰ τῶν ἀγαθῶν, ἅπερ αἴτια γίνεται τῶν ἁτέρων, οἷον πόνοι μὲν σώματος καὶ γυμνάσια καὶ τρίψιες εὐεκτίας, ἀναγνώσιες δὲ καὶ μελέται καὶ ἐπιταδεύσιες καλῶν καὶ ἀρετᾶς. τίνα δὲ καὶ δι᾽ αὔταυτα αἱρετὰ καὶ [τὰ] δι᾽ ἅτερον; (...) οἷον αἵ τε ἀρεταὶ καὶ αἱ ἕξιες αὐτῶν, καὶ αἱ προαιρέσιες, καὶ αἱ πράξιες, καὶ πᾶν τὸ ἐχόμενον τᾶς τῶ καλῶ οὐσίας. τὸ μὲν ὦν δι᾽ αὔταυτο αἱρετόν, οὐ μὰν δι᾽ ἅτερον, μονῆρες ἀγαθόν ἐντι καὶ ἕν· τὸ δὲ καὶ δι᾽ αὔταυτο καὶ

δι᾿ ἅτερον, τριχᾷ δέδασται. τὸ μὲν γάρ τι αὐτῶ περὶ ψυχάν ἐστι, τὸ δὲ περὶ σῶμα, τὸ δέ τι ἐκτός· περὶ ψυχὰν μὲν αἱ τᾶς ψυχᾶς ἀρεταί, περὶ σῶμα δὲ αἱ τῶ σώματος, ἐκτὸς δὲ φίλοι δόξα τιμὰ πλοῦτος. παραπλησίως δὲ καὶ τὸ δι᾿ ἅτερον αἱρετόν· τὸ μὲν γάρ τι αὐτῶ τὰ ποιητικὰ τῶν τᾶς ψυχᾶς ἀγαθῶν, περὶ σῶμα δὲ τὰ τῶ σώματος, ἐκτὸς δὲ τὰ αἴτια πλούτω καὶ δόξας καὶ τιμᾶς καὶ φιλίας. ὅτι δὲ τὰν ἀρετὰν ἦμεν συμβέβακεν αὐτὰν δι᾿ αὑταύταν αἱρετάν, δᾶλον καὶ ἐκ τῶνδε. εἰ γὰρ τὰ καταδεέστερα τᾷ φύσει, λέγω δὲ τὰ σώματος ἀγαθά, αὐτὰ δι᾿ αὕταυτα αἱρεόμεθα, κρέσσων δὲ ψυχὰ σώματος, φανερὸν ὅτι καὶ τὰ τᾶς ψυχᾶς ἀγαθὰ αὐτὰ δι᾿ αὕταυτα ἀγαπέομες, ἀλλ᾿ οὐ διὰ τὰ ἀποβαίνοντα ἀπ᾿ αὐτῶν.

(111) Ἐν ταὐτῷ. (fr. 7 l; p. 555 Mullach)

Ὅτι ὁ ἀγαθὸς ἀνὴρ οὕτω διάκειται ποτ᾿ εὐτυχίαν, ὥσπερ καὶ ὁ τῷ σώματι καλῶς ἔχων καὶ ῥωμαλέως. καὶ γὰρ ἐκεῖνος οἷός τε καὶ θάλπος καὶ ψῦχος ὑπομένεν καὶ βάρος ἆραι μέγα καὶ πολλὰς ἁτέρας εὐχερῶς ὑπομένεν κακοπαθείας.

(112) Ἐν ταὐτῷ. (fr. 5 l; p. 554 Mullach)

Τῶ δ᾿ ἀνθρωπίνω βίω καιροὶ τρεῖς, ὃ μὲν ἐν εὐτυχίᾳ ὃ δ᾿ ἐν ἀτυχίᾳ ὃ δὲ μεταξὺ τούτων. ἐπεὶ ὦν ἀγαθὸς ἀνὴρ ὁ ἔχων ἀρετὰν καὶ ὁ χρεόμενος ἀρετᾷ, χρέεται δὲ αὐτᾷ κατὰ τὼς τρεῖς καιρώς· ἢ γὰρ ἐν ἀτυχίᾳ ἢ ἐν εὐτυχίᾳ ἢ ἐν τοῖς μεταξὺ τούτων· καὶ ἐν ἀτυχίᾳ μέν ἐντι κακοδαίμων, ἐν δ᾿ εὐτυχίᾳ εὐδαίμων, ἐν δὲ τᾷ μέσᾳ καταστάσει οὐκ εὐδαίμων· φανερὸν (οὖν) ὅτι οὐδὲν ἅτερόν ἐστιν εὐδαιμοσύνα ἀλλ᾿ ἢ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. λέγομες δὲ νῦν εὐδαιμοσύναν τὰν τῶ ἀνθρώπω. ὁ δ᾿ ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα· τὸ γὰρ ἐξ ἀμφοτέρων ζῷον καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος. καὶ γὰρ εἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος καὶ τοῦτο καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μὲν ἔντι τῶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα· τῶν δὲ μερέων τῶ ἀνθρώπω ψυχᾶς μὲν φρόνασις ἀνδρεία δικαιοσύνα σωφροσύνα, σώματος δὲ κάλλος ὑγίεια εὐεκτία εὐαισθησία. τὰ δ᾿ ἐκτὸς πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια πέφυκεν ἐπιγεννάματα ἦμεν τῶ ἀνθρώπω καὶ ἀκόλουθα [τοῖς] φύσει προϋφεστακόσιν ἀγαθοῖς· δορυφορεῖ τε τὰ μῄονα τῶν ἀγαθῶν τὰ μέζονα· φιλία μὲν καὶ δόξα καὶ πλοῦτος σῶμα καὶ ψυχάν, ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθησία ψυχάν, φρόνασις δὲ καὶ ἀνδρεία καὶ σωφροσύνα καὶ δικαιοσύνα τὸν νόον τᾶς ψυχᾶς, ὁ δὲ νόος τὸν θεόν· οὗτος γὰρ ὁ κράτιστός ἐστι καὶ ὁ ἁγεμονεύων. καὶ τούτω ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. στρατεύματος μὲν γὰρ ἁγεῖται στραταγός, πλωτήρων δὲ κυβερνάτας, τῶ δὲ κόσμω θεός, τᾶς δὲ ψυχᾶς νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις· οὐδὲν γὰρ ἅτερόν ἐστι φρόνασις, εἰ μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας, ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπω ἀγαθῶν.

(113) Ἐν ταὐτῷ. (fr. 6 l; p. 555 Mullach)

Καὶ θεῶ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος, τῶ δ᾽ ἀνθρώπω ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας σωματουμένα παραγίνεται. λέγω δὲ ἐπιστάμαν σοφίαν μὲν τῶν θείων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ [τῶν] περὶ τὸν βίον· τὰς γὰρ λόγοις καὶ ἀποδειξίεσσι ποτιχρεομένας ἀρετὰς δέον ἐπιστάμας ποταγορεύεν· ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ᾽ ἂν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος, οἷον ἐλευθέριοι δίκαιοι καὶ σώφρονες· εὐτυχίαν δὲ τὰν παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν καὶ μὴ δι᾽ αὐτὸν γινομέναν. ἐπεὶ ὦν ἁ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ᾽ ἁμῖν, ἁ δ᾽ εὐτυχία οὐκ ἐφ᾽ ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονέν· αἱ δὲ θεωρίαι καὶ αἱ πράξιες ποτάντεις μὲν οὖσαι λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι, εὐοδοῦσαι δὲ διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν ὅτι οὐδὲν ἅτερόν ἐστιν εὐδαιμοσύνα, εἰ μὴ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ.

(114) Ἐν ταὐτῷ. (fr. 8 l; p. 555 Mullach)

Ἐπεὶ ὦν εὐδαιμοσύνα χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. τῶν γὰρ ἀγαθῶν ἃ μὲν οὐκ ἐπιδέχεται ὑπερβολάν, οἷον ἀρετά· οὐ γάρ ἐστιν ὑπερβάλλοισά τις ἀρετὰ καὶ ὑπερβαλλόντως τις ἀγαθός· ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καὶ ἔστι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ᾽ εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μήωσιν. ὑπερβάλλοισα δὲ γεννᾷ τινας κακίας καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς κατὰ φύσιν ἕξιος, ὥστε πολλάκις ἀντιβαίνεν καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἅτεραι αἰτίαι πλείονες. οὐδέποκα γὰρ δεῖ θαυμαίνεν περὶ μὲν αὐλητικὰν ἦμέν τινας ἀλαζόνας, οἳ τὰ ποτ᾽ ἀλάθειαν ἐάσαντες φαντασίᾳ τινὶ ψευδεῖ τὼς ἀμώσως αἱρέοντι, περὶ δὲ τὰν ἀρετὰν μὴ ἦμεν τὸ τοιοῦτον γένος, ἀλλ᾽ ὅσῳ περ σεμνότερόν ἐστι, τοσούτῳ καὶ τὸ ποτιποιούμενον περὶ αὐτὰν πλέον ἦμεν γένος. πολλὰ γάρ ἐστι τὰ διαστρέφοντα τὰς περὶ τὰν ἀρετὰν ἐπιφανείας, ὧν ἓν μέν ἐστι τὸ τῶν ἐπιβουλευόντων καὶ ποτιποιουμένων γένος· ἅτερα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀλαθινᾶς διαθέσιος· τινὰ δὲ καὶ δι᾽ ἔθος συνεκτεθραμμένα ἐκ παλαιῶν χρόνων· οὐκ ὀλίγα δὲ καὶ δι᾽ ἁλικίας ἁβατικάς τε καὶ γεροντικάς, καὶ δι᾽ εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι᾽ ἁτέρως παμπληθέας τρόπως. ὥστε οὐδέποκα δεῖ θαυμαίνεν, εἰ πάντ᾽ ἀντεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀλαθινᾶς διαθέσιος μεταπιπτοίσας. ὥσπερ καὶ τέκτονα τὸν ἄριστον ἦμεν δοκέοντα πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα, καὶ στραταγὸν καὶ κυβερνάταν καὶ γραφέα καὶ πάντας ἁπλῶς, καὶ ὅμως οὐκ ἀποστερέομες τᾶς ὑπαρχοίσας ἕξιος· οὕτως οὐδὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς οὐδὲ τὸν ἀδικήσαντα οὐδὲ τὸν ἀποδειλιάσαντα ἐς τὼς κακὼς τακτέον ἄνδρας, οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας ἐς τὼς ἀγαθώς· ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὲν ποτὲ δοτέον τοῖς

τε ἀγαθοῖς τὸ διαμαρτάνεν. τὰν δὲ ἀλαθινὰν κρίσιν [κριτέον] οὐ ποθ᾽ ἕνα καιρὸν ἐπιβλέποντας οὐδ᾽ ἐπὶ χρόνου τι πλᾶθος, ἀλλ᾽ ἐπὶ πάντα τὸν βίον. ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ἐμποιὲν πέφυκεν ἁ ὑπερβολὰ καὶ τὰ καλεόμενα περισσώματα· οὕτω καὶ [τὰν] ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ποὲν πέφυκεν ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος καταμεθύσκουσα τοῖς ἀγαθοῖς τὰν διάνοιαν.

**B 9** /7b = Stobaios, Anthologium III, 3, 65 (fr. 11 phil. Graec. I; 556 Mullach)

᾿Αρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος.
Φρόνιμος δὲ ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο· φύσιος πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω τυχών, ἐν λογισμοῖς τε καὶ μαθημάτεσσι καὶ ταῖς ποτ᾽ ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω γυμνάσαιτο τὰν διάνοιαν, φιλοσοφίας ἁπτόμενος ὀρθᾶς, μετὰ δὲ ταῦτα ἐθέων τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβοι. δύο γάρ ἐντι ἐξ ὧν τῶ φρονίμω διάθεσις παραγίνεται, ὧν τὸ μέν ἐντι ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβέν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθέν, τὰ μὲν καὶ αὐτὸν ἰδόντα, τὰ δὲ καὶ δι᾽ ἁτέρω τινὸς τρόπω κατανοήσαντα. οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσσι καὶ ταῖς ποτ᾽ ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω γυμνάσας τὰν διάνοιαν ἱκανός ἐντι ποτὶ φρόνασιν· οὔθ᾽ ὁ τούτων μὲν ἀπολειφθείς, ἐν[δ᾽] ἀκροαμάτεσσι πολλοῖς καὶ πραγμάτεσσιν ἀναστρεφθείς. ἀλλ᾽ ὁ μὲν ἐν τῷ καθ᾽ ἕκαστα κρίνεν τυφλὸς ἐγένετο τὰν διάνοιαν· ὁ δ᾽ ἐν τῷ καθόλω θεωρὲν αἰεί. καθάπερ [γὰρ ἔνι] ἐπὶ τῶν λογισμῶν τὰ μέρεα συντιθέντας τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὰν καθόλω θεωρίαν ὑπογράφεν, ἁ δ᾽ ἐμπειρία καθ᾽ ἕκαστα κρίνεν.

**B 9** /7c = Stobaios, Anthologium IV, 50a, 28

᾿Αρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος.
Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα, καὶ ποεῖ ἁ μὲν νεότας ἐγχειρητικώς, τὸ δὲ γῆρας προνοατικώς ... καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφίεμεν διανοίας. ἀλλὰ καὶ τί πράσσει καὶ τί πέπραχεν ἐπισκοπεῖ, ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμευόμενος, τὰ δ᾽ ἐνεστακότα τοῖς παρῳχημένοις αὐτὸς αὑταυτὸν διορθοῦν δύνηται, ποτὶ μὲν τὸν παροιχόμενον [χρόνον] τὰν μνάμαν ἐφαρμόζων, ποτὶ δὲ τὸν παρεόντα τὰν αἴσθασιν, ποτὶ δὲ

τὸν μέλλοντα τὰν πρόνοιαν. ἔστι γὰρ ἀεὶ μνάμα μὲν ἁμὶν τῶ παρεληλυθότος χρόνω, πρόνοια δὲ τῶ μέλλοντος, αἴσθασις δὲ τῶ παρεόντος. διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύεν μέλλοντα μὴ μόνον αἰσθατικὸν καὶ μναμονικὸν ἀλλὰ καὶ προνοατικὸν ἦμεν.

**B 9** /8 = Iamblichos, Protrepticus 4; 16, 17n. Pistelli

᾿Αρχύτας τοίνυν ἐν τῷ Περὶ σοφίας εὐθὺς ἀρχόμενος προτρέπει οὕτως·
᾿τοσοῦτον διαφέρει σοφία ἐν πᾶσι τοῖς ἀνθρωπίνοις πράγμασιν, ὅσον ὄψις μὲν αἰσθασίων σώματος, νόος δὲ ψυχᾶς, ἅλιος δὲ ἄστρων. ὄψις τε γὰρ ἑκαβολεστάτα καὶ πολυειδεστάτα τᾶν ἀλλᾶν αἰσθασίων ἐντὶ καὶ νόος ὕπατος λόγω καὶ διανοίας τὸ δέον ἐπικραίνων καὶ ὄψις καὶ δύναμις τῶν τιμιωτάτων ὑπάρχων. ἅλιός γε μὰν ὀφθαλμός ἐντι καὶ ψυχὰ τῶν φύσιν ἐχόντων· ὁρῆταί τε γὰρ δι᾿ αὐτῶ πάντα καὶ γεννῆται καὶ νοῆται, ῥιζωθέντα καὶ γενναθέντα δὲ τράφεταί τε καὶ ἀέξεται καὶ ζωπυρῆται μετ᾿ αἰσθάσιος.᾿
πάνυ ἐπιστημονικῶς ἐνταῦθα τήν τε φύσιν καὶ ἐνέργειαν τῆς σοφίας ἐπιδείκνυσι, καὶ ἀπὸ τοῦ χρησιμωτάτην αὐτὴν εἶναι καὶ ἡγεμονικωτάτην ποιεῖται τὴν προτροπὴν ἐπὶ τὸν νοῦν καὶ τὴν θεωρίαν.

**B 9** /9 = Stobaios, Anthologium IV, 1, 135-138

᾿Αρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ νόμου καὶ δικαιοσύνης.
Νόμος ποτ᾿ ἀνθρώπω ψυχάν τε καὶ βίον ὅπερ ἁρμονία ποτ᾿ ἀκοάν τε καὶ φωνάν· ὅ τε γὰρ νόμος παιδεύει μὲν τὰν ψυχάν, συνίστησι δὲ τὸν βίον, ἅ τε ἁρμονία ἐπιστάμονα μὲν ποιεῖ τὰν ἀκοάν, ὁμόλογον δὲ τὰν φωνάν. φαμὶ δὴ ἐγὼ πᾶσαν κοινωνίαν ἐξ ἄρχοντος καὶ ἀρχομένω συνεστάμεν καὶ τρίτον νόμων. νόμων δὲ ὁ μὲν ἔμψυχος βασιλεύς, ὁ δὲ ἄψυχος γράμμα. πρᾶτος ὦν ὁ νόμος· τούτω γὰρ [ἐμμονᾷ] ὁ μὲν βασιλεὺς νόμιμος, ὁ δ᾿ ἄρχων ἀκόλουθος, ὁ δ᾿ ἀρχόμενος ἐλεύθερος, ἁ δ᾿ ὅλα κοινωνία εὐδαίμων· καὶ τούτω παραβάσει [ὁ] μὲν βασιλεὺς τύραννος, ὁ δ᾿ ἄρχων ἀνακόλουθος, ὁ δ᾿ ἀρχόμενος δοῦλος, ὁ δ᾿ ὅλα κοινωνία κακοδαίμων. συνείρονται μὲν γὰρ ταὶ πράξιες ἐκ τῶ ἄρχεν καὶ τῶ ἄρχεσθαι καὶ τρίτον ἐκ τῷ κρατέν. τὸ μὲν ὦν ἄρχεν τῶ κρέσσονος οἰκῆον, τὸ δ᾿ ἄρχεσθαι τῶ χερήονος, τὸ δὲ κρατὲν ἀμφοτέρων· ἄρχει μὲν γὰρ τὸ λόγον ἔχον τᾶς ψυχᾶς, ἄρχεται δὲ τὸ ἄλογον, κρατοῦντι δὲ τῶν παθέων ἀμφότερα. γίνεται γὰρ ἐκ τᾶς ἑκατέρων συναρμογᾶς ἀρετά, αὕτα δὲ καὶ ἀπὸ τᾶν ἁδονᾶν καὶ ἀπὸ τᾶν λυπᾶν ἐς ἀρεμίαν καὶ ἀπάθειαν ἀπάγει τὰν ψυχάν.
(136) ᾿Εν ταὐτῷ.

Δεῖ δὲ τὸν νόμον ἀκόλουθον ἦμεν τᾷ φύσει, δυνατὸν τοῖς πράγμασι, συμφέροντα τᾷ πολιτικᾷ κοινωνίᾳ· αἴτε γὰρ ἑνὸς τούτων αἴτε πληόνων αἴτε πάντων ἀπολείπεται, ἤτοι οὐ νόμος ἢ οὐ τέληος νόμος ἐσεῖται. ἀκόλουθος μὲν ὦν κα εἴη τᾷ φύσει, μιμεόμενος τὸ τᾶς φύσιος δίκαιον· τοῦτο δέ ἐστιν τὸ ἀνάλογον καὶ τὸ ἐπιβάλλον ἑκάστῳ κατὰ τὰν ἑκάστω ἀξίαν. δυνατὸς δέ, αἰ ποτὶ τὼς νομοθετουμένως ἔχει τὰν συναρμογάν· πολλοὶ γὰρ τὸ τᾷ φύσει καὶ πρᾶτον ἀγαθὸν [οὐχ] ἱκανοὶ δέξασθαι, τὸ δὲ ποθ᾽ αὑτὼς καὶ τὸ ἐνδεχόμενον· οὕτω γὰρ καὶ τοὶ νοσέοντες καὶ τοὶ κάμνοντες τυγχάνοντι ἐπιμελείας.

(137) Ἐν ταὐτῷ.

Συμφέρων δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελὴς ὁ νόμος, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων· δεῖ δὲ καὶ ποτὶ τὰν χώραν καὶ ποτὶ τὼς τόπως ἀποβλέπεν τὸν νόμον, οὔτε γὰρ γᾶ τὼς αὐτὼς καρπὼς οὔτε ψυχὰ ἀνθρώπων τὰν αὐτὰν ἀρετὰν παραδέξασθαι δύναται. διὸ τὸ δίκαιον τοὶ μὲν ἀριστοκρατικὸν τοὶ δὲ δαμοκρατικὸν τοὶ δὲ ὀλιγαρχικὸν ποιοῦντι· καὶ τὸ ἀριστοκρατικὸν κατὰ τὰν ὑπεναντίαν μεσότατα· τοῖς μὲν γὰρ μέζοσι μέζονας τὼς [δὲ] λόγως, τοῖς δὲ μῄοσι μῄονας διανέμει ἁ ἀναλογία αὕτα· τὸ δὲ δαμοκρατικὸν κατὰ τὰν γεωμετρικάν· ἐν γὰρ ταύτᾳ τοὶ λόγοι ἶσοι τῶν μεζόνων καὶ μηόνων μεγεθέων· τὸ δὲ ὀλιγαρχικὸν καὶ τυραννικὸν κατὰ τὰν ἀριθμητικάν· ἀντιάζει γὰρ αὕτα τᾷ ὑπεναντίᾳ· τοῖς γὰρ μῄοσι μέζονας τὼς λόγως, τοῖς δὲ μέζοσι μῄονας. ταὶ μὲν ὦν ἰδέαι τᾶς διανομᾶς τοσαῦται, ταὶ δὲ εἰκόνες ἐν ταῖς πολιτείαις καὶ τοῖς οἴκοις θεωρέονται· τιμαί τε γὰρ καὶ κολάσιες καὶ ἀρχαὶ [ἢ] ἐξ ἴσω τοῖς μέζοσι καὶ μήοσι διανέμονται, ἢ ἐξ ἀνίσω ἢ τῷ ἀρετᾷ ὑπερέχεν ἢ τῷ πλούτῳ ἢ καὶ δυνάμει. τὸ μὲν ὦν ἐξ ἴσω δαμοκρατικόν, τὸ δὲ ἐξ ἀνίσω ἀριστοκρατικὸν ἢ ὀλιγαρχικόν.

(138) Ἐν ταὐτῷ.

Δεῖ δὲ τὸν νόμον τὸν κάρρονα καὶ τὰν πόλιν ἐκ πασᾶν σύνθετον εἶμεν τᾶν ἀλλᾶν πολιτειᾶν· καὶ ἔχεν τι δαμοκρατίας, ἔχεν τι ὀλιγαρχίας, ἔχεν τι βασιλήας καὶ ἀριστοκρατίας· ὥσπερ καὶ ἐν τᾷ Λακεδαίμονι· τοὶ μὲν γὰρ βασιλέες τᾶς μοναρχίας, τοὶ δὲ γέροντες τᾶς ἀριστοκρατίας, τοὶ δὲ ἔφοροι τᾶς ὀλιγαρχίας, ἱππαγρέται δὲ καὶ κόροι τᾶς δαμοκρατίας. δεῖ τοίνυν τὸν νόμον μὴ μόνον ἀγαθὸν καὶ καλὸν ἦμεν, ἀλλὰ καὶ ἀντιπεπονθέναι τοῖς αὑτῶ μερέεσσιν· οὗτος γὰρ ἰσχυρὸς καὶ βέβαιος· τὸ δ᾽ ἀντιπεπονθέναι λέγω αὐτῶ, καὶ ἄρχεν καὶ ἄρχεσθαι τὰν αὐτὰν ἀρχάν, ὥσπερ καὶ ἐν τᾷ εὐνομωτάτᾳ Λακεδαίμονι. τοῖς μὲν γὰρ βασιλεῦσιν τοὶ ἔφοροι ἀντικάθηνται, τούτοις δ᾽ οἱ γέροντες, μέσοι δ᾽ οἱ κόροι καὶ ἱππαγρέται· ἐφ᾽ ὃ γὰρ ἂν ῥέψωντι τοὶ πλεονεκτίοντες τῶν ἀρχόντων, οὗτοι τοῖς ἄλλοις ὑποτίθενται.

Δεῖ τὸν νόμον τὰ περὶ θεὼς καὶ δαίμονας καὶ γονέας καὶ ὅλως τὰ καλὰ καὶ τίμια πρᾶτα τίθεσθαι, δεύτερον δὲ τὰ συμφέροντα· τὰ γὰρ μήονα τοῖς μέζοσιν

ἀκολουθὲν ποθάκει· καὶ μὴ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν, ἀλλ᾽ ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. οὐδὲ γὰρ ἐν Λακεδαίμονι τᾷ εὐνομωτάτᾳ πλάθει γραμμάτων ἁ πόλις διοικῆται, πολὺ δὲ μᾶλλον [ἐν] τοῖς τρόποις τῶν πολιτευομένων. συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελής, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων ὁ νόμος καὶ τὰν ζαμίαν ἐς τὰν αἰσχύναν καὶ τὰν ἀτιμίαν ἀμφέρῃ, μὴ ἐς τὰν τῶν χρημάτων ἀποβολάν. ἐκ μὲν γὰρ τῶ αἰσχύνᾳ ζαμιοῦσθαι κοσμιότατα καὶ χρηστότατα σπουδάζοντι, ὅπως τὰν ἐν τοῖς νόμοις ζαμίαν ἀκοινώνατον ἔχωντι· ἐκ δὲ τῶ χρήμασι χρήματα περὶ πλείστω ποιησοῦνται, μέγιστον φάρμακον ὑπολαμβάνοντες ἦμεν τῶν ἁμαρτημάτων. ἄριστον μὲν ὦν τὰν ὅλαν πόλιν οὕτως συντετάχθαι, ὥστε μηδενὸς ποτιδεῖσθαι ἔξωθεν, μήτε κατ᾽ ἀρετὰν μήτε κατὰ δύναμιν μήτε κατ᾽ ἄλλαν μηδεμίαν αἰτίαν· οὕτω γὰρ καὶ σῶμα καὶ οἰκία καὶ στράτευμα συντέτακται καλῶς, τὸ ἐν αὑτῷ ἔχον τὰν αἰτίαν τᾶς σωτηρίας, ἀλλὰ μὴ ἔξωθεν· σῶμα μὲν τὸ κάρρον, οἰκία δ᾽ ἁ συγκειμένα καλῶς, στράτευμα δὲ τὸ μὴ μισθοφόρον μηδ᾽ ἀγύμναστον· κρέσσονα γὰρ τὰ οὕτως συνταχθέντα γίνεται τῶν ἄλλων· καὶ ἐλεύθερα μὲν καὶ ἀδούλωτα, οὐ πολλῶν ποτιδεόμενα ποτὶ τὰν διαμονάν, ὀλίγων δὲ καὶ εὐπαρακομίστων. οὕτω γὰρ ὦν ὁ μὲν ἰσχυρὸς τῶ βάρεος, ὁ δὲ γυμνάτας τῶ ῥίγεος περιγίνεται· γυμνάζοντι γὰρ ταὶ τύχαι καὶ ταὶ συμφοραὶ τὼς ἀνθρώπως· ἐπεὶ καὶ τῷ σώφρονι καὶ διαπονaθέντι καὶ σώματι καὶ ψυχᾷ καὶ τροφὰ ἁδέα φαίνεται πᾶσα καὶ ποτόν, καὶ εὐνὰ δὲ ἁ μετὰ φυλλάδος, τῷ δὲ τρυφᾶν καὶ συβαρίζεν ἐκποριουμένῳ καὶ ἁ τῶ μεγάλω βασιλέος παρασκευὰ δυσάρεστος καὶ ἀλλοτρία. τὸν νόμον ὦν ἐν τοῖς ἤθεσι καὶ τοῖς ἐπιταδεύμασι τῶν πολιτᾶν ἐγχρῴζεσθαι δεῖ· τὼς γὰρ πολίτας αὐτάρκεας θήσει καὶ διανεμεῖ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ καὶ τὸ ἐπιβάλλον· οὕτω γὰρ καὶ ὁ ἅλιος φερόμενος διὰ τῶ ζῳοφόρω διανέμει τοῖς ἐπὶ γᾶς πᾶσι καὶ γενέσιος καὶ τροφᾶς καὶ βιοτᾶς τὰν ποθάκουσαν μοῖραν, οἷον εὐνομίαν τὰν εὐκρασίαν τᾶν ὡρᾶν παρασκευαζόμενος. διὸ καὶ νόμιος καὶ νεμήιος Ζεὺς καλέεται, καὶ νομεὺς ὁ διανέμων τὰς τροφὰς τοῖς ὀίεσσιν· καὶ τὸ τῶν κιθαρῳδῶν δὲ ἄσματα νόμοι· συντάσσοντι γὰρ καὶ ταῦτα τὰν ψυχάν, ἁρμονίᾳ καὶ ῥυθμοῖς καὶ μέτροις ἀειδόμενα.

**B 9** /10 = ?

**B 9** /11 = Athénaios, Deipnosophistae XII; 516c = XII, 12 Kaibel

πρῶτοι δὲ Λυδοὶ καὶ τὴν καρύκην ἐξεῦρον, περὶ ἧς τῆς σκευασίας οἱ τὰ Ὀψαρτυτικὰ συνθέντες εἰρήκασιν, Γλαῦκός τε ὁ Λοκρὸς καὶ Μίθαικος καὶ Διονύσιος Ἡρακλεῖδαί τε δύο γένος Συρακόσιοι καὶ Ἆγις καὶ Ἐπαίνετος καὶ Διονύσιος ἔτι τε Ἡγήσιππος καὶ Ἐρασίστρατος καὶ Εὐθύδημος καὶ Κρίτων, πρὸς τούτοις δὲ Στέφανος, Ἀρχύτας, [Ἀκέστιος,] Ἀκεσίας, Διοκλῆς, Φιλιστίων. τοσούτους γὰρ οἶδα γράψαντας Ὀψαρτυτικά. καὶ κάνδαυλον δέ τινα ἔλεγον οἱ Λυδοί, οὐχ ἕνα ἀλλὰ τρεῖς· οὕτως ἐξήσκηντο πρὸς τὰς ἡδυπαθείας. γίνεσθαι δ᾽ αὐτόν φησιν ὁ Ταραντῖνος Ἡγήσιππος ἐξ ἑφθοῦ κρέως καὶ κνηστοῦ ἄρτου καὶ Φρυγίου τυροῦ ἀνήθου τε καὶ ζωμοῦ πίονος. μνημονεύει δ᾽ αὐτοῦ Ἄλεξις ἐν Παννυχίδι ἢ Ἐρίθοις·

**B 9** /12 = Diogenés Laertios, Vitae philosophorum III, 22 (cfr. A 5)

Archýtás pozdravuje Dionýsia!
My, všichni Platónovi přátelé, jsme k tobě poslali Lamiska a Fótida, abychom podle dohody s tebou přivedli zpět onoho muže. Učiníš tedy dobře, vzpomeneš-li si na ono úsilí, s jakým jsi nás všechny žádal, aby k tobě Platón přišel, chtěje jej získat pro sebe a zaručit mu mimo jiné zvláště bezpečnost jak za jeho pobytu, tak i na zpáteční cestě. Vzpomeň si též na to, že sis velmi vážil toho, že přišel, a od té doby sis ho oblíbil jako nikoho ze svých hostů. Urazí-li tě však nějakým způsobem, musíš se zachovat lidsky a vrátit nám toho muže, aniž mu ublížíš. Učiníš-li tak, vykonáš spravedlivý skutek a nás si zavážeš k vděčnosti.

Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.
Ἀπεστάλκαμές τοι πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν ἀπολαψούμενοι τὸν ἄνδρα κὰτ τὰν πὰρ τὶν γενομέναν ὁμολογίαν. ὀρθῶς δέ κα ποιοῖς ἀμμιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντας ἁμὲ παρεκάλεις πὸτ τὰν Πλάτωνος ἄφιξιν ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ περὶ τὰν ἀσφάλειαν μένοντί τε καὶ ἀφορμίοντι. μέμνασο δὲ καὶ τῆνο ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ καὶ ἀγάπης ἐκ τήνω τῶ χρόνω ὡς οὐδένα τῶν πὰρ τίν. αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ κἀποδιδόμεν ἁμὶν ἀβλαβῆ τὸν ἄνδρα. ταῦτα γὰρ ποιῶν δίκαια πραξεῖς καὶ ἁμὶν χαριξῇ.

**B 9** /12b = Diogenés Laertios, Vitae philosophorum VIII, 80

Archýtás přeje Platónovi zdraví!
Dobře jsi učinil, že ses vyprostil z nemocí, vždyť jsi mi o tom sám psal a oznámili mi to i Lamiskovi přátelé. O zápisky jsme se postarali a vydali se do Lukánie, kde jsme našli výtvory

Okkelovy výtvory. Spisy *O zákoně*, *O království*, *O zbožnosti* a *O vzniku vesmíru* tedy máme a něco jsme ti poslali. Ty ostatní však nyní nelze najít, pokud se však najdou, dostaneš je.

᾿Αρχύτας Πλάτωνι ὑγιαίνειν.
Καλῶς ποιέεις ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀρρωστίας· ταῦτα γὰρ αὐτός τυ ἐπέσταλκας καὶ τοὶ περὶ Λαμίσκον ἀπάγγελον. περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες καὶ ἀνήλθομες ὡς Λευκανὼς καὶ ἐνετύχομες τοῖς ᾿Οκκέλω ἐκγόνοις. τὰ μὲν ὦν Περὶ νόμω καὶ Βασιληίας καὶ ῾Οσιότατος καὶ τᾶς τῶ παντὸς γενέσιος αὐτοί τ᾿ ἔχομες καὶ τὶν ἀπεστάλκαμες· τὰ δὲ λοιπὰ οὔτοι νῦν γα δύναται εὑρεθῆμεν, αἰ δέ κα εὑρεθῇ, ἥξει τοι.